ΜΕΝΙΠΠΟΣ

*Νεότης μ' ἐπῆρε καὶ θράσος τοῦ νοῦ πλέον.*

ΦΙΛΟΣ

*Παῦσαι, μακάριε, τραγῳδῶν καὶ λέγε οὑτωσί πως ἁπλῶς καταβὰς ἀπὸ τῶν ἰαμβείων, τίς ἡ στολή; τί σοὶ τῆς κάτω πορείας ἐδέησεν; ἄλλως γὰρ οὐχ ἡδεῖά τις οὐδὲ ἀσπάσιος ἡ ὁδός.*

ΜΕΝΙΠΠΟΣ

*Ὦ φιλότης, χρειώ με κατήγαγεν εἰς Ἀΐδαο*
*ψυχῇ χρησόμενον Θηβαίου Τειρεσίαο.*

ΦΙΛΟΣ

*Οὗτος, ἀλλ' ἦ παραπαίεις; οὐ γὰρ ἂν οὕτως ἐμμέτρως ἐρραψῴδεις πρὸς ἄνδρας φίλους.*

ΜΕΝΙΠΠΟΣ

*Μὴ θαυμάσῃς, ὦ ἑταῖρε· νεωστὶ γὰρ Εὐριπίδῃ καὶ Ὁμήρῳ συγγενόμενος οὐκ οἶδ' ὅπως ἀνεπλήσθην τῶν ἐπῶν καὶ αὐτόματά*
2 *μοι τὰ μέτρα ἐπὶ τὸ στόμα ἔρχεται. ἀτὰρ εἰπέ μοι, πῶς τὰ ὑπὲρ γῆς ἔχει καὶ τί ποιοῦσιν οἱ ἐν τῇ πόλει;*

ΦΙΛΟΣ

*Καινὸν οὐδέν, ἀλλ' οἷα καὶ πρὸ τοῦ ἁρπάζουσιν, ἐπιορκοῦσιν, τοκογλυφοῦσιν, ὀβολοστατοῦσιν.*

ΜΕΝΙΠΠΟΣ

*Ἄθλιοι καὶ κακοδαίμονες· οὐ γὰρ ἴσασιν οἷα ἔναγχος κεκύρωται παρὰ τοῖς κάτω καὶ οἷα κεχειροτόνηται τὰ ψηφίσματα κατὰ τῶν πλουσίων, ἃ μὰ τὸν Κέρβερον οὐδεμία μηχανὴ τὸ διαφυγεῖν αὐτούς.*

ΦΙΛΟΣ

*Τί φῄς; δέδοκταί τι νεώτερον τοῖς κάτω περὶ τῶν ἐνθάδε;*